ΧΟΡΟΣ.

τί ποθ᾽ ἡσυχία πρόσθεν μελάθρων;
τί σεσίγηται δόμος Ἀδμήτου;
ἀλλ᾽ οὐδὲ φίλων πέλας οὐδείς,
ὅστις ἂν εἴποι πότερον φθιμένην
χρὴ βασίλειαν πενθεῖν, ἢ ζῶσ᾽
ἔτι φῶς λεύσσει Πελίου τόδε παῖς
Ἄλκηστις, ἐμοὶ πᾶσί τ᾽ ἀρίστη
δόξασα γυνή
πόσιν εἰς αὐτῆς γεγενῆσθαι.

ΗΜΙΧΟΡΙΟΝ.

κλύει τις ἢ στεναγμὸν ἢ str.
χειρῶν κτύπον κατὰ στέγας
ἢ γόον ὡς πεπραγμένων;
*ΗΜΙΧ.* οὐ μὰν οὐδέ τις ἀμφιπόλων
στατίζεται ἀμφὶ πύλας.
εἰ γὰρ μετακύμιος ἄτας,
ὦ Παιάν, φανείης.
*ΗΜΙΧ.* οὔ τἂν φθιμένης γ᾽ ἐσιώπων.
*ΗΜΙΧ.* νέκυς ἤδη.
*ΗΜΙΧ.* οὐ δὴ φροῦδός γ᾽ ἐξ οἴκων.
*ΗΜΙΧ.* πόθεν; οὐκ αὐχῶ. τί σε θαρσύνει;
*ΗΜΙΧ.* πῶς ἂν ἔρημον τάφον Ἄδμητος
* * * * * *
κεδνῆς ἂν ἔπραξε γυναικός;

---

77 *χορ.* praef. *S*] *ἡμιχ. r* | *πρόσθεν* Blomfieldus] *πρόσθε* libri 79 *ἡμιχ.* praefixum in libris del. Kirchhoffius | v. corruptus. *τις* ante *πέλας* inser. *l* *πέλας ἔστ᾽ οὐδείς* Monkius 80 *εἴποι Ba*] *εἴποι L ἐνέ* sup. *εἴ* scr. *l* *ἐννέποι P* 81 *χρὴ βασίλειαν πενθεῖν* Blomfieldus] *βασίλειαν πενθεῖν χρή* libri (*α* sup. *χρή*, *β* sup. *πενθεῖν* scr. *l*) 82 *λεύσσει Πελίου τόδε* Bothius] *τόδε λεύσσει* (*λεύσει BP*) *πελίου* libri 85 *αὑτῆς* G. H. Schaefer] *αὐτῆς* libri 86. 89 *ἡμιχόριον* praefixum in omnibus libris. ab hemichoriis non nisi v.v. 93—97 et 105—111 cani putat Kirchhoffius 87 *χειρῶν* Nauckius] *χερῶν* libri 88 *γόον L*] *γόων r* 90 *στατίζεται* Hermannus] *στατίζετ᾽* libri 91 *ἡμιχ.* praef. *BaL* om. *P* | *εἰ S*] *εἴ B εἶ a* 92 *ὦ* Matthiaeus] *ἰώ* libri 93 *οὔ τἂν* Matthiaeus] *οὔτ᾽ ἂν* libri | *φθιμένης* Monkius] *φθιμένας* libri 94 *ΗΜΙΧ. νέκυς ἤδη. ΗΜΙΧ. οὐ δὴ φροῦδός γ᾽ ἐξ οἴκων* Kirchhoffius] *ἡμιχ. οὐ γὰρ δὴ φροῦδός γ᾽ ἐξ οἴκων νέκυς ἤδη* (*ἤδη νέκυς P ἤδη* del. *l*) libri post 96 dipodiam anapaesticam excidisse coniecit Hartungius